μάστιγί τ' εὖ τὸ νῶτον ἀποθλίψειν σέθεν,
κἄπειτα συνδήσαντες ἐς θάδώλια
τῆς νηὸς ἐμβαλόντες ἀποδώσειν τινὶ
πέτρους μοχλεύειν ἢ 's μυλῶνα καταβαλεῖν.
*ΚΥ.* ἄληθες; οὔκουν κοπίδας ὡς τάχιστ' ἰὼν
θήξεις μαχαίρας καὶ μέγαν φάκελον ξύλων
ἐπιθεὶς ἀνάψεις; ὡς σφαγέντες αὐτίκα
πλήσουσι νηδὺν τὴν ἐμὴν ἀπ' ἄνθρακος
θερμὴν ἔδοντος δαῖτ' ἄτερ κρεανόμου,
τὰ δ' ἐκ λέβητος ἑφθὰ καὶ τετηκότα·
ὡς ἔκπλεώς γε δαιτός εἰμ' ὀρεσκόου·
ἅλις λεόντων ἐστί μοι θοινωμένῳ
ἐλάφων τε, χρόνιος δ' εἴμ' ἀπ' ἀνθρώπων βορᾶς.
*ΣΙ.* τὰ καινά γ' ἐκ τῶν ἠθάδων, ὦ δέσποτα,
ἡδίον' ἐστίν. οὐ γὰρ οὖν νεωστί γε
ἄλλοι πρὸς ἄντρα τὰ σ' ἀφίκοντο ξένοι.
*ΟΔ.* Κύκλωψ, ἄκουσον ἐν μέρει καὶ τῶν ξένων.
ἡμεῖς βορᾶς χρῄζοντες ἐμπολὴν λαβεῖν
σῶν ἆσσον ἄντρων ἤλθομεν νεὼς ἄπο.
τοὺς δ' ἄρνας ἡμῖν οὗτος ἀντ' οἴνου σκύφου
ἀπημπόλα τε κἀδίδου πιεῖν λαβὼν
ἑκὼν ἑκοῦσι κοὐδὲν ἦν τούτων βίᾳ.
ἀλλ' οὗτος ὑγιὲς οὐδὲν ὧν φησιν λέγει,
ἐπεί γ' ἐλήφθη σοῦ λάθρᾳ πωλῶν τὰ σά.
*ΣΙ.* ἐγώ; κακῶς γὰρ ἐξόλοι'. *ΟΔ.* εἰ ψεύδομαι.
*ΣΙ.* μὰ τὸν Ποσειδῶ τὸν τεκόντα σ', ὦ Κύκλωψ,
μὰ τὸν μέγαν Τρίτωνα καὶ τὸν Νηρέα,
μὰ τὴν Καλυψὼ τάς τε Νηρέως κόρας,

---

237 *ἀπολέψειν* Ruhnken 238 *θάδώλια*] Seidler, *τάδώλια LP*, *τὰ 'δώλια p* 240 *ἢ 's μυλῶνα*] Ruhnken, *ἢ πυλῶνα LP* 241 *οὐκοῦν LP* 242 *ξύλων* ex *ξύλον* fecit *P* 243 *ὡς* apogr. Paris., *ὦ LP* 244—351 intercidere in *P* exscisso folio, cuius vestigium restat 244 *πλήσωσι* Barnes 245 *δαῖτ' ἄτερ κρεανόμου*] Musgrave (*κρεανόμων* Dobree), *δαῖτα τω κρεανόμω LP* 247 *δαιτός εἰμ' ὀρεσκόου*] H. Stephanus, *δαιτὸς ἱμεροσκόου L* 248 *λεόντων*] *λαγῶν γάρ* Schenkl 251 *ἥδιον L*, *ἡδίον' l* | *οὖν*] Reiske, *αὖ LP* 252 *πρὸς οἴκους σοὺς* Heimsoeth (cfr. 288) 258 *τούτων*] Barnes, *τούτω L* 260 *ἐπεί γ' ἐλήφθη*] Heath, *ἐπεὶ κατελήφθη L* | *λάθρα L* 261 *γὰρ*] *ἄρ'* Lenting | *ἐξόλοιο L*, *ἐξόλοι' l* | *ΟΔ.*] lineola in *L*